βασιλεὺς Κροῖσος ὁ Ἀλυάττεω· ἄσσα δ' ἂν ἕκαστα τῶν
χρηστηρίων θεσπίσῃ, συγγραψαμένους ἀναφέρειν παρ' ἑωυ-
2 τόν. ὅ τι μέν νυν τὰ λοιπὰ τῶν χρηστηρίων ἐθέσπισε, οὐ
λέγεται πρὸς οὐδαμῶν· ἐν δὲ Δελφοῖσι ὡς ἐσῆλθον τάχιστα
ἐς τὸ μέγαρον οἱ Λυδοὶ χρησόμενοι τῷ θεῷ καὶ ἐπειρώτων
τὸ ἐντεταλμένον, ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ λέγει τάδε·

3 οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης,
καὶ κωφοῦ συνίημι καὶ οὐ φωνεῦντος ἀκούω.
ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης
ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσιν,
ᾗ χαλκὸς μὲν ὑπέστρωται, χαλκὸν δ' ἐπίεσται.

48 ταῦτα οἱ Λυδοὶ θεσπισάσης τῆς Πυθίης συγγραψάμενοι
οἴχοντο ἀπιόντες ἐς τὰς Σάρδις. ὡς δὲ καὶ ὦλλοι οἱ περι-
πεμφθέντες παρῆσαν φέροντες τοὺς χρησμούς, ἐνθαῦτα
ὁ Κροῖσος ἕκαστα ἀναπτύσσων ἐπώρα τῶν συγγραμμάτων.
τῶν μὲν δὴ οὐδὲν προσίετό μιν· ὁ δὲ ὡς τὸ ἐκ Δελφῶν
ἤκουσε, αὐτίκα προσεύχετό τε καὶ προσεδέξατο, νομίσας
μοῦνον εἶναι μαντήιον τὸ ἐν Δελφοῖσι, ὅτι οἱ ἐξευρήκεε τὰ
2 αὐτὸς ἐποίησε. ἐπείτε γὰρ δὴ διέπεμψε παρὰ τὰ χρηστήρια
τοὺς θεοπρόπους, φυλάξας τὴν κυρίην τῶν ἡμερέων ἐμηχανᾶτο
τοιάδε· ἐπινοήσας τὰ ἦν ἀμήχανον ἐξευρεῖν τε καὶ ἐπιφρά-
σασθαι, χελώνην καὶ ἄρνα κατακόψας ὁμοῦ ἧψεε αὐτὸς ἐν
λέβητι χαλκέῳ χάλκεον ἐπίθημα ἐπιθείς. τὰ μὲν δὴ ἐκ
49 Δελφῶν οὕτω τῷ Κροίσῳ ἐχρήσθη· κατὰ δὲ τὴν Ἀμφιάρεω
τοῦ μαντηίου ὑπόκρισιν οὐκ ἔχω εἰπεῖν ὅ τι τοῖσι Λυδοῖσι
ἔχρησε ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζόμενα (οὐ γὰρ ὦν οὐδὲ
τοῦτο λέγεται) ἄλλο γε ἢ ὅτι καὶ τοῦτον ἐνόμισε μαντήιον
50 ἀψευδὲς ἐκτῆσθαι. μετὰ δὲ ταῦτα θυσίῃσι μεγάλῃσι τὸν ἐν
Δελφοῖσι θεὸν ἱλάσκετο· κτήνεά τε γὰρ τὰ θύσιμα πάντα
τρισχίλια ἔθυσε, κλίνας τε ἐπιχρύσους καὶ ἐπαργύρους καὶ

8 φωνεῦντος L et C. I. G. i. 1724: λαλέοντος Orig. c. C. ii. 9 alii 9 κραταιρρ. b 20 ἐμηχανήσατο P b 22 εψεε P b 25 ἀπόκρισιν L: corr. Schaefer 28 ἐκτῆσθαι Laur. lxx. 6: κεκτῆσθαι L 30 ⟨καὶ⟩ κλίνας Stein



φιάλας χρυσέας καὶ εἵματα πορφύρεα καὶ κιθῶνας νήσας
πυρὴν μεγάλην κατέκαιε, ἐλπίζων τὸν θεὸν μᾶλλόν τι τού-
τοισι ἀνακτήσεσθαι· Λυδοῖσί τε πᾶσι προεῖπε θύειν πάντα
τινὰ αὐτῶν τοῦτο ὅ τι ἔχοι ἕκαστος. ὡς δὲ ἐκ τῆς θυσίης 2
ἐγένετο, καταχεάμενος χρυσὸν ἄπλετον ἡμιπλίνθια ἐξ αὐτοῦ
ἐξήλαυνε, ἐπὶ μὲν τὰ μακρότερα ποιέων ἑξαπάλαστα, ἐπὶ
δὲ τὰ βραχύτερα τριπάλαστα, ὕψος δὲ παλαστιαῖα, ἀριθμὸν
δὲ ἑπτακαίδεκα καὶ ἑκατόν, καὶ τούτων ἀπέφθου χρυσοῦ
τέσσερα, τρίτον ἡμιτάλαντον ἕκαστον ἕλκοντα, τὰ δὲ ἄλλα
ἡμιπλίνθια λευκοῦ χρυσοῦ, σταθμὸν διτάλαντα. ἐποιέετο 3
δὲ καὶ λέοντος εἰκόνα χρυσοῦ ἀπέφθου, ἕλκουσαν σταθμὸν
τάλαντα δέκα. οὗτος ὁ λέων, ἐπείτε κατεκαίετο ὁ ἐν Δελ-
φοῖσι νηός, κατέπεσε ἀπὸ τῶν ἡμιπλινθίων (ἐπὶ γὰρ τούτοισι
ἵδρυτο) καὶ νῦν κεῖται ἐν τῷ Κορινθίων θησαυρῷ, ἕλκων στα-
θμὸν ἕβδομον ἡμιτάλαντον· ἀπετάκη γὰρ αὐτοῦ τέταρτον
ἡμιτάλαντον. ἐπιτελέσας δὲ ὁ Κροῖσος ταῦτα ἀπέπεμπε ἐς 51
Δελφοὺς καὶ τάδε ἄλλα ἅμα τοῖσι· κρητῆρας δύο μεγάθεϊ
μεγάλους, χρύσεον καὶ ἀργύρεον, τῶν ὁ μὲν χρύσεος ἔκειτο
ἐπὶ δεξιὰ ἐσιόντι ἐς τὸν νηόν, ὁ δὲ ἀργύρεος ἐπ' ἀριστερά.
μετεκινήθησαν δὲ καὶ οὗτοι ὑπὸ τὸν νηὸν κατακαέντα, καὶ 2
ὁ μὲν χρύσεος κεῖται ἐν τῷ Κλαζομενίων θησαυρῷ, ἕλκων
σταθμὸν εἴνατον ἡμιτάλαντον καὶ ἔτι δυώδεκα μνέας, ὁ δὲ
ἀργύρεος ἐπὶ τοῦ προνηίου τῆς γωνίης, χωρέων ἀμφορέας
ἑξακοσίους· ἐπικίρναται γὰρ ὑπὸ Δελφῶν Θεοφανίοισι.
φασὶ δέ μιν Δελφοὶ Θεοδώρου τοῦ Σαμίου ἔργον εἶναι, καὶ 3
ἐγὼ δοκέω· οὐ γὰρ τὸ συντυχὸν φαίνεταί μοι ἔργον εἶναι.
καὶ πίθους τε ἀργυρέους τέσσερας ἀπέπεμψε, οἳ ἐν τῷ Κοριν-
θίων θησαυρῷ ἑστᾶσι, καὶ περιρραντήρια δύο ἀνέθηκε, χρύ-
σεόν τε καὶ ἀργύρεον, τῶν τῷ χρυσέῳ ἐπιγέγραπται Λακε-

1 χιτῶνας L νήσας b: νηήσας A P c 4 τούτῳ P b ἔχει P 6 ἑξαπάλαιστα P b c 7 τριπάλαιστα P b παλαιστ. P b 8 τούτων b: τουτέων rell. 9 τέσσαρ. L (it. 27) τρίτον ἡμιτάλαντον Pollux ix. 54: τρία ἡμιτάλαντα L 17 αὐτοῖσι A c P² μεγέθ. A P c 18 ἐκέετο P^c (ἐκαί-? P¹) c b 22 ἔνατον L 28 ἀνέθηκε del. Stein